sb.22.15708 = HGV SB 22 15708 = Trismegistos 25933

metadata ✓ HGV data ✓ TM data ✓

text ✓ transcription ✓

open in editor

Canonical URI: http://papyri.info/ddbdp/sb;22;15708

HGV: SB 22 15708 [source] [xml]

Title	Privatbrief
Publications	SB 22 15708 [More in series SB] [More in series SB, vol. 22] P.Oxy. XVIII 2190
Support/Dimensions	Papyrus
Post-Concordance BL Entries	XI 240
Translations	Eck & Heinrichs, Sklaven und Freigelassene (1993), S. 129f., Nr. 185 (Z. 41-55).; Lewis, Life in Egypt (1983), S. 63-64.; Schubert, Vivre en Égypte (2000), S. 74-78, Nr. 10; Burnet, L'Égypte ancienne (2003), Nr. 203
Origin	Oxyrhynchos [More from Oxyrhynchos]
Material	Papyrus
Date	ca. 100 [More from the period between 100 CE and 101 CE]
Commentary	Tag: 30. Nov. (1. Dez.). Vgl. Morello - Morrison, Ancient Letters, S. 17-28.
Subjects	Brief (privat); N.N. an Theon (Vater); Student; Lehrer; Schule; Alexandria; Unterhalt (Leben)
Images	http://163.1.169.40/cgi-bin/library?a=q&r=1&hs=1&e=p-000-00-...
License	© Heidelberger Gesamtverzeichnis der griechischen Papyrusurkunden Ägyptens. This work is licensed under a Creative Commons Attribution 3.0 License.

Trismegistos: 25933 [source]

Publications	SB 22 15708 (Rupprecht, Hans-Albert; 2001) = P. Oxy. 18 2190 (Roberts, Colin Henderson; 1941) = ZPE 99 (1993), p. 76-78 (Rea, John R. R.; 1993)
Inv. no.	Oxford, Sackler Library, Papyrology Rooms P. Oxy. 2190
Date	AD 100 about (Choiak 04)
Language	Greek
Provenance	Egypt, U19 - Oxyrynchos (Bahnasa)[found]; Egypt, L00 - Alexandria[written]
People	mentioned people

Citations

63433. John Rea, "A Student's Letter to his Father: P. Oxy. XVIII 2190 Revised.," ZPE, 99 (1993), pp. 75-88.

DDbDP transcription: sb.22.15708 [xml]

ca. AD 100 Oxyrhynchus
[Reprinted from: „] P.Oxy. 18 2190

r

column 1

[– ca.10 –][Θ]έωνι τῶι κυρίωι πατρὶ
[–10–12–][ ] vac. ? χαίρειν.
[τῆς μὲν μεγίστ]ης ἀθυμίας ἀπήλλαξας \ἡμᾶς/ δηλώσας ὡς
[ἐστί σοι ἀδιά]φορα τὰ γενόμενα περὶ τοῦ θεάτρου,
[ἤλπιζον δὲ φ]θάσας καταπλεῦσαι τυχεῖν λαμπρῶν
[ἀγαθῶν, καὶ τί ἀ]ντὶ τῆς προθυμίας ἔπρα[ξ]α; νῦν
[γάρ, ἐπιζητῶ]ν φιλόλογον, καὶ Χαιρήμονα τὸν καθη–
[γητὴν καὶ Δίδ]υμον τὸν τοῦ Ἀριστοκλέο[υς], παρ' οἷς
[ἐλπὶς ἦν καὶ ἐμ]έ τι κατορθῶσαι, οὐκέτι ἐν τ[ῇ]ι πόλει
[εὗρον, ἀλλὰ κα]θάρματα, παρ' οἷς τῆι εὐθείαι ὁδῶι χρη–
[σάμενοι οἱ πλεί]ονες διεφθόρασι(*). καὶ πρότερόν σοι ἔγρα–
[ψα, καθάπερ καὶ] ἔγραψα τοῖς περὶ Φιλόξενον, ἐπι–
[σκέψασθαι τὸ πρᾶ]γμα, καὶ ὑπ' ἐκείνων τῶι εὐδοκιμοῦν–
[τι συνεστάθην, ὃν κ]αὶ παραιτησάμενον Θέωνα εὐθὺς
[ἀπεδοκίμασας, οἷ]ν κ[α]ὐτὸς κατεγνωκὼς αὐτοῦ
[ὡς ἐνδεῆ παντ]ελῶς ἔ[χ]οντος τὴν ἕξιν. μεταδόν–
[τος δ' ἐμοῦ Φι]λοξένωι τὴν σὴν γνώμην, τὰ αὐτὰ μὲν
[ἐφρόνει, διὰ τα]ύτην μόνην τὴν τῶν σοφιστῶν ἀ–
[πορ[ία]ν συνπαθεῖν τῆι π[ό]λει φάσκων, καταπλε[ύσ]ᾳν–
τα δὲ τὸν Δί{δι}δυμον, ὡς ἔ[ο]ικεν, φίλον ὄντα αὐτῶι καὶ
σχολὴν ἔχοντα, ἔλεγεν ἐπιμελήσεσθαι τῶν ἄλ–
λων, μᾶλλον καὶ τοῦς τοῦ Ἀπολλωνίου τοῦ τοῦ Ἡρώ–
δου παραβαλε[ῖν] ἔπειθεν αὐτῶι. καὐτοὶ γὰρ με[τ]ὰ τού–
του δει[ν]ότερον καθηγητὴν ἕως τοῦ νῦν ἐπιζητ[ο]ῦ–
σιν, ἀποθανόντος φιλολόγου ὧι παρέβαλλον. εὑ–
ξάμενο[ς] δ' ἂν ἔγωγε, εἴπερ ἀξίους λόγου καθηγητὰς
εὗρον, μηδὲ ἐξ ἀπόπτου Δίδυμον ἰδεῖν, τοῦτο ᾳὐ–
τὸ ἀθυμῶ, ὅτι ἔδοξεν εἰς σύνκρισιν(*) τοῖς ἄλλο[ις]
ἔρχεσθαι οὗτος, ὃς ἐπὶ τῆς χώρας καθηγεῖτο.

column 2

τοῦτο οὖν εἰδώς – ὅτι, πλὴν τοῦ μάτην μισθοὺς πλείονας
τελεῖν, ἀπὸ καθηγητοῦ οὐδὲν ὄφελος, ἀλλὰ ἀπ' ἐμαυτοῦ
ἔχω – ταχέως ὅ τι ἐάν σοι δοκῇ γράψον. ἔχω δὲ
τὸν Δίδυμον, ὡς καὶ Φιλόξενος λέγει, ἀεί μοι προ[σ]ερ–
καιροῦντα καὶ πᾶν ὅ τι δύναται παρεχόμενον. [ἔτι δὲ]
τῶν ἐπιδεικνυμένων ἀκροώμενος, ὧν ἐστὶν ὁ Πο–
σειδώνιος, τάχα θεῶν θελόντων καλῶς πράξομαι.
ἡ δ' ἐπὶ τούτοις ἀθυμία ἐστὶν ἡ ὀλιγωρεῖν τοῦ σώματος
ἡμᾶς ἀναγκάζουσα, ὡς οὐδ' ἐπιμελεῖσθαι δέον ᾳὐτῶ\ν/
[τ]οὺς μήπω πράσσοντας, καὶ μάλιστα ὅτε οὐ[δ]ὲ οἱ
χαλκὸν εἰσφέροντές εἰσιν. τότε μὲν γὰρ πρὸς ἡμέρας
ὁ χρήσιμος Ἡρακλᾶς – κακὸς κακῶς – ὀβολοὺς ἐπ[ε]ισ–
έφερεν, νῦν δὲ ἅμα τῷ δεθῆναι ὑπὸ Ἰσιδώρου, ὥσ[π]ερ
ἦν ἄξιον, ἔφυγεν καὶ ἀνῆλθεν, ὡς δοκῶ, πρὸς σέ. ὃν
εὖ ἴσθι μηδ' ἂν ὀκνήσοντά(*) σοί ποτε ἐπιβουλεῦσαι.
οὐ γὰρ ᾐσχύνετο πρὸ πάντων μετὰ χαρᾶς τὰ περὶ τοῦ
θεάτρου ἐν τῆι πόλει φημίζων καὶ λαλῶν τὰ ψεύ–
δη ἃ οὐδ' ἂν κατήγορος εἴποι, καὶ ταῦτα μηδὲν ἄξι–
ον αὐτοῦ πάσχων, ἀλλὰ λελυμένος καὶ ὡς ἐλεύθε–
ρος πάντα ποιῶν. ἀλλ' ὅμως δύνῃ,εἰ μὴ πέμπεις αὐ–
τόν, παραδοῦναί γε τέκτονι. ἀκούω γὰρ ὅτι νεακί–
σκος(*) δύο δραχ{α}μὰς τῆς ἡμέρας ποιεῖ. ἢ σύνζευ–
ξον(*) αὐτὸν ἄλλωι ἔργωι, ὅθεν πλείονα χαλκὸν λή–
ψεται, ἵνα τὸ μισθάριον αὐτοῦ συνλεγόμενον(*)
πέμπηται ἡμεῖν(*) διὰ χρόνου. οἶδας γὰρ ὅτι καὶ ὁ Δι–
ογᾶς γράμματα μανθάνει. ἐν ὧι τὸν μεικρὸν(*) πέμ–
πεις, πλατύτερον ἐν οἰκίᾳ ἰδιωτικῇ τόπον ὀφόμεθα.
ἵνα γὰρ γειτνιεύσωμεν Διονυσίῳ,ἐν μεικρωῖ λείαν(*)
τόπωι γεγόναμεν. ἐκομισάμεθα τὸν κόϊκα, πάντα ἀσ̣φα–
λ[ῶ]ς ὅσα ἔγραψας ἔχοντα, καὶ τὰ ἄγγη σὺν τῶι ἡμικαδίωι,
ἐν οἷς εὕρομεν, ἀντὶ χοέων ιη, κβ. καὶ ὧν ἔγραψας ἔπεμ–
ψα μετ' ἐπιστολῆς ἑκάστωι ἡμικάδιον. τοῦ ὁλοράκου
τὰ ἓξ μέ(τρα) ἔλαβον, καὶ κῷον ὄξους πλῆρες, καὶ ταριχηρὰ
κρέα ρκς, καὶ τὰ ἐν τῶι κάδωι, καὶ τὰ ὀπτὰ λ.
ἔρρωσο. Χοιὰκ δ.

v

[– ca.30 –][ἀρ]χιε̣ρεῖ Νείλου.

Apparatus

^ r.1.11. l. διεφθόρασι
^ r.1.28. l. σύγκρισιν
^ r.2.44. l. ὀκνήσαντά
^ r.2.50–51. l. νεανί|σκος
^ r.2.51–52. l. σύζευ|ξον
^ r.2.53. l. συλλεγόμενον
^ r.2.54. l. ἡμῖν
^ r.2.55. l. μικρὸν
^ r.2.57. l. μικρῶι λίαν

Editorial History; All History; (detailed)

© Duke Databank of Documentary Papyri. This work is licensed under a Creative Commons Attribution 3.0 License.

DDbDP transcription: p.oxy.18.2190 [xml]

I spc Oxyrhynchus
[Reprinted in: „] SB 22,15708

Editorial History; All History; (detailed)

© Duke Databank of Documentary Papyri. This work is licensed under a Creative Commons Attribution 3.0 License.

Linked Data

RDF/XML | Turtle | N-Triples | JSON | Graph Visualization